δοσθαι, καὶ παρέχουσί τινες καταφρονοῦντες, ἤδη ἀνατέτραπται ἡ ἰατρική, ὥστε εἰ καὶ εἰσί τινες ἐπὶ κακῷ κεχρημένοι τῇ ῥητορικῇ, οὐκ ὀφείλει αὕτη εὐθύνεσθαι. φαμὲν πρὸς τοῦτο, ὅτι οὐχ ὥσπερ ἐκεῖ αὐτὸ τοῦτο προκεκήρυκται, ὅτι οὐ δεῖ φθόρια διδόναι, οὕτως καὶ σὺ προλέγεις, ὅτι μηδεὶς ἐπὶ κακῷ χρήσεται· καὶ γὰρ οὗτος αὐτός ἐστιν ὅρος τῆς ῥητορικῆς ὁ κελεύων δύναμιν αὐτὴν εἶναι τεχνικὴν τοῦ περὶ ἕκαστα πιθανοῦ λόγου, ὥστε δέδεικται διὰ πάντων, ὅτι ἀνακολούθως ἐφθέγξατο. λοιπὸν τοίνυν διττὸν προφέρει τὸν ἔλεγχον, τὸν μὲν ἐκ τῶν πραγμάτων, ὡς μαθησόμεθα προιόντος τοῦ λόγου, τὸν δὲ ἐξ αὐτοῦ τοῦ τρόπου τῆς ἀποκρίσεως· καὶ ὁ ἐκ τοῦ τρόπου διττός ἐστιν, ὁ μὲν ἐντρεπτικός, ὁ δὲ ἀποδεικτικός· καὶ ὁ ἐντρεπτικὸς μέν ἐστιν ὁ τὸ ἀπαίδευτον μόνον καὶ οὐ καλὸν δεικνύς, οὐ μὴν τὸ ἐναντίον, ὁ δὲ ἀποδεικτικὸς αὐτὸ τὸ ἐναντίον ἐξ ἀντιφάσεως, ὅτι ὅλως οὐκ οἶδεν τὸ δίκαιον· τὸν δὲ ἐντρεπτικὸν ἐκτίθεται μεταλήψει χρησάμενος, οἷόν τι λέγω· εἶπεν ὁ Γοργίας, ὅτι ἐν πλήθει λέγω καὶ ὅτι καὶ τῶν καθέκαστα τεχνιτῶν μείζων εἰμί. οὕτω γοῦν τοῦ ἀδελφοῦ μου Ἡροδίκου μὴ πείσαντος τὸν κάμνοντα λαβεῖν φάρμακον, ἐγὼ ἔπεισα· ἐρωτῶμεν οὖν αὐτόν· ὅτι τί οὖν ἰατροῦ κρεῖττον εἶ· λέγει· ὅτι οὔ· οὐ γὰρ οἶδα ἰατρικήν, ἀλλὰ ἔπεισα· ὁ δὲ ἰατρὸς ἐπιστήμων ἐστίν; ναὶ ἢ οὔ· ἐρεῖ, ὅτι ναί· ἔπεισας τοίνυν σὺ ἢ ὁ ἀδελφός σου ἐν πλήθει· τὸ δὲ πλῆθος ἀπαίδευτον· πλῆθος δὲ λαμβάνεις καὶ αὐτὸν τὸν κάμνοντα, εἰ γὰρ ᾔδει ἰατρικὴν ἐπιστήμην, ἐπείσθη ἂν τῷ ἰατρῷ· εἰ οὖν σὺ οὐκ οἶσθα, ὦ Γοργία, ἐπιστήμην ἰατρικήν, ὁ δὲ ἰατρὸς οἶδεν, ἔπεισας δὲ μᾶλλον αὐτὸ τὸ πλῆθος, ὅ ἐστι τοὺς οὐκ εἰδότας, δῆλον ὅτι συνάγεται τοῦτο, ὡς ὁ μὴ εἰδὼς τοῦ εἰδότος ἐν οὐκ εἰδόσι πολὺ πιθανώτερος. ἔδει οὖν οὕτως εἰπεῖν.

3 ὁ δὲ Σωκράτης οὐκ ἄρχεται ἀπὸ τοῦ μὴ εἰδότος, ἵνα μὴ ἐνδῷ τῇ συνουσίᾳ ὁ Γοργίας ὡς ὑβριζόμενος, ἀλλὰ ἀπὸ τοῦ πλήθους ἤρξατο· εἶτα ἦλθεν ἐπὶ τὸν ἰατρὸν εἰδότα καὶ οὕτως ἐπὶ τὸν μὴ εἰδότα μέν, πείσαντα δέ· ἀμέλει ἐν μὲν ταῖς προτάσεσιν οὕτως προάγει τὸν λόγον ἀπὸ τοῦ πλήθους ἀρξάμενος, ἐν δὲ τῷ συμπεράσματι ἀπὸ τοῦ μὴ εἰδότος· οὕτως

---

3 mg. λύσις   17 mg. α΄